ὃ καὶ τοῦτ' εἴρηται, Ἄβδηρα καλὴ Τηΐων ἀποικία. *Strabo lib.* 14. *p.* 644. *Casaub. p.* 953. *A Almelou.*

Vrsin. d. l. p. 150.

7. Οἶμαι — οὐδέ γε ᾄδειν τὰ Σαπφοῦς, ἢ Ἀνακρέοντος, ἐρωτικὰ μέλη πρέπον ἂν εἴη ταῖς βασιλεῦσιν. *Dio Chrysostomus orat.* 2. περὶ βασιλειας *p.* 24. *B Morel. p.* 81. *Reisqu. To.* 1.

Vrsin. d. l. p. 146. et p. 151.

8. Ὁ Ἰώνων ποιητὴς Ἀνακρέων. *Idem Dio ibid. p.* 31. *D Mor. p.* 91. *Reisqu. To.* 1. *vt Pollux* 3, 98. Ἀνακρέων δ' αὐτὸ [ἦδεν] εἴρηκεν, Ἴων, καὶ ποιητὴς ἀνήρ.

9. Ὅτε καὶ Σαπφοῦς ἀναδεχομένης, καὶ τῶν Ἀνακρέοντος, ἐγώ μοι δοκῶ καταθέσθαι τὸ ποτήριον αἰδούμενος. *Plutarchus Symposs.* 7, 8. *p.* 711. *D To.* 2. *Vechel.*

Vrsin. d. l. p. 150.

10. Τί δέ; ἐὰν ποιητικὴν πάλιν, ἢ μιμητικὴν, ἀποφαίνοντες, οὐχ ἑτέραν μὲν ἀνδρῶν, ἑτέραν δὲ γυναικῶν, οὖσαν, ἀλλὰ τὴν ἐπὶ τὴν τὰ Σαπφοῦς μέλη τοῖς Ἀνακρέοντος, ἢ τὰ Σιβύλλης λόγια τοῖς Βάκιδος ἀντιπαραβάλλοιμεν, ἕξει τις αἰτιάσασθαι δικαίως τὴν ἀπόδειξιν, ὅτι χαίροντα, καὶ τερπόμενον, ἐπάγει τῇ πίστει τὸν ἀκροατήν; *Plutarchus in* γυναικῶν Ἀρεταῖς *p.* 243. *B To.* 2.

Vrsin. d. l. p. 150.

11. Τοῦτο μὲν οὖν Ἡρακλείδης ὁ Ποντικὸς ἐλέγχει τοῖς Ἀνακρέοντος ποιήμασιν, ἐν οἷς ὁ περιφόρητος Ἀρτέμων ὀνομάζεται [*vid. fragm.* 27.], πολλαῖς ἔμπροσθεν ἡλικίαις τοῦ περὶ Σάμον πολέμου, καὶ τῶν πραγμάτων ἐκείνων. *Plutarchus V. Periclis p.* 167. *A To.* 1. *add. ibid. p.* 153. *A.*

12. Ἔστι δὲ ἐν τῇ Ἀθηναίων ἀκροπόλει καὶ Περικλῆς ὁ Ξανθίππου, καὶ αὐτὸς ὁ Ξάνθιππος, ὃς ἐναυμάχησεν ἐπὶ Μυκάλῃ Μήδοις [*vid. Plutarchus V. Pericl. p.* 153. *C To.* 1.]. Ἀλλ' ὁ μὲν Περικλέους ἀνδριὰς ἑτέρωθι ἀνάκειται· τοῦ δὲ τοῦ Ξανθίππου